# TEZAUR LITURGIC

**9 IANUARIE**

**MELETIE SIRIGUL**

# PARACLISUL
## SF.CUVIOŞI-MĂRTURISITORI
# NICHITA,NICHIFOR ŞI ATANASIE
## DE LA MIDICHIA BITINIEI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΣΙΣ

# ΟΣΙΩΝ ΝΙΚΗΤΑ,ΝΙΚΗΦΟΡΟΥ ΚΑΙ ΑΘΑΝΑΣΙΟΥ ΜΟΝΗΣ ΜΥΔΙΚΙΟΥ

## Ποίημα Μελέτιος Συρίγος

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἡ τριφεγγὴς τῶν Ἀσκητῶν δαδουχία, ἐκ τῆς πηγῆς τῆς ὑπερφώτου Τριάδος, ἐκπυρωθεῖσα ἔλαμψε τοῖς πέρασι φαιδρῶς, σκότος ἐκδιώκουσα, τῶν ἀθέων γλωσσάλγων, καὶ ἀκάνθας φλέγουσα, τῶν εἰκονομαχούντων, τῶν δὲ πιστῶν φωτίζουσα ψυχάς, Ὀρθοδοξίας, ἀκτίνας ἐκλάμπουσα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50)*

Εἶτα ὁ Κανὼν τῶν Ὁσίων

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Νικήσας τὰ πάθη τὰ τῆς σαρκός, στεφάνῳ τῆς νίκης ἐκοσμήθης παρὰ Θεοῦ, διό σε Νικήτα ἱκετεύω, τὴν τῶν παθῶν μου ἀχλὺν διασκέδασον.

Δεινότατον κλύδωνα ἐπ' ἐμέ, ἐξήγειρεν ὄντως τῶν πταισμάτων μου ἡ πληθύς, ποντίσαι ζητοῦσα ἀπογνώσει, σύ μοι ταχὺς βοηθὸς ἐπιφάνηθι.

Τὸν βίον ἡσύχως διαπερῶν, πραότητος γνώμη χάριν εἴληφας ἐκ Θεοῦ, πραΰνειν καρδίας ὀχλουμένας, διὸ ψυχῆς μου τὸν τάραχον κοίμισον.

*Θεοτοκίον.*

Παρθένε ἡ τέξασα ἐπὶ γῆς, εἰρήνην τῷ κόσμῳ θλιβομένην μου τὴν ψυχήν, δειναῖς ἐπηρείαις τῶν δαιμόνων, καὶ κακοτρόπων ἀνθρώπων εἰρήνευσον.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀθανάσιε μάκαρ ὁ ἀστατῶν πάντοτε, φεύγων τὰς συγχύσεις τοῦ βίου καὶ συλλεγόμενος, οἷάπερ μέλισσα τῶν ἐναρέτων τὰς πράξεις, σύ μου τὸ εὐόλισθον στῆσον πρεσβείαις σου.

Προσπαθείαις τοῦ βίου προστηκὼς πάντοτε, νόσοις τε ποικίλαις καὶ θλίψεσιν ἐκταράττομαι, σὺ ὃς διώδευσας τὴν στενὴν τρίβον Κυρίου, καὶ πρὸς τὴν ἀπάθειαν φθάσας με ἴασαι.

Ὀφθαλμίαν ὀμμάτων καλλιγραφῶν πέπονθας, ὅθεν ὁ Χριστός σοι ὁρᾶν καὶ πάλιν δεδώρηται, ἐμὲ δὲ ἔχοντα ὡς φωτισμὸν τὴν τρυφήν μου, νύκτα τὴν ἀσέληνον λιταῖς σου φώτισον.

*Θεοτοκίον.*

Θεοτόκε Παρθένε ἡ τὴν ζωὴν τέξασα, τεθανατωμένον με ἤδη τοῖς πλημμελήμασι, σὺ ἐξανάστησον ἐκ τῶν πυλῶν τῶν τοῦ ᾅδου, ἵνα μὴ κατάβρωμα ἐχθροῖς μου γένωμαι.

Στηρίξατε, ὑμῶν τὴν ποίμνην Πατέρες ὦ θεοφόροι, καὶ τῶν χαλεπῶν κινδύνων λυτρώσασθε, οἳ συνέχουσι νῦν ἡμᾶς πολυτρόπως.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβείαν θερμήν.*

Πρεσβείαν θερμὴν κινήσατε φιλόστοργοι, Πατέρες ἡμῶν πρὸς μόνον τὸν Φιλάνθρωπον, τοῦ λυτρῶσαι τάχιστα τῆς παρούσης ἡμᾶς περιστάσεως, καὶ ἀναγκῶν καὶ κακώσεων, ὑμᾶς γὰρ προστάται κεκτήμεθα.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Νικηφόρε πανόλβιε, ὡς τῆς ἡσυχίας ἐραστὴς γνήσιος, τὸν παθῶν ἄσπονδον πόλεμον, τῶν ἐν τῇ ψυχῇ μου κατασίγησον.

Τὴν ζωὴν τὴν οὐράνιον, τὴν ἐγκεκρυμμένην Χριστῷ ἐπόθησας, διὰ τοῦτό με καθάρισον, ἀπὸ τῶν κρυφίων μου ἀοίδιμε.

Συντριβέντα με πταίσμασι, παραλελυμένον τε ἀμελείᾳ μου, σύσφιγξόν με ἱκεσίαις σου, Νικηφόρε μάκαρ τὸν οἰκέτην σου.

*Θεοτοκίον.*

Ἐμολύνθην ὁ ἄθλιος, καὶ ἀπεβδελύχθην διὰ τὰς πράξεις μου, ἡ τὴν κάθαρσιν κυήσασα, τὴν τοῦ κόσμου Κόρη Σύ με κάθαρον.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σκότος με δεινόν, τὸ τῶν θλίψεων ἐκάλυψε, καὶ ἡ ἰσχύς μου μὲ κατέλιπε, Νικῆτα μάκαρ σὺ φωτίσας με ἐνίσχυσον.

Λύκοι ἀναιδεῖς, τὴν σὴν ποίμνην ἐκταράττουσιν, ὦ Νικηφόρε Μάρτυς τοῦ Χριστοῦ, ἀλλὰ σῆς ῥάβδῳ πρεσβείας τούτους ἐκδίωξον.

Πένητας πολλούς, Ἀθανάσιε μετέθρεψας, καὶ τοὺς σοὺς παῖδας ἀποροῦντας τροφῆς, δόξης τῆς θείας καταχόρτασον πρεσβείαις σου.

*Θεοτοκίον.*

Μήτηρ τοῦ Θεοῦ, τὴν παροῦσα ἴδε κάκωσιν, τὴν κατατρύχουσα τοὺς δούλους τοὺς Σούς, καὶ μὴ ἐάσης ἀπολέσθαι κινδυνεύοντας.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Τετάρακται, ἐν ἐμοὶ τὸ πνεῦμά μου, ἀπὸ θλίψεως ἐχθρῶν πολεμούντων, ἐν γὰρ σφοδρᾷ ἐγκοτοῦσιν ὀργῇ μοι, καὶ τῇ τοῦ θανάτου δειλίᾳ ἐκτήκομαι, Σὺ Σῶτερ πτεροῖς περιστερᾶς, ταῖς λιταῖς τῶν Ἁγίων Σου σῶσόν με.

Περίλυπον, αἱ τοῦ βίου μου ζάλαι, καὶ παθῶν ἐπαναστάσεις ποιοῦσι, διὰ παντὸς ἐκνικῶσαι τὸ κρεῖττον, καὶ διδοῦσαι μερίδι τῇ χείρονι, τὸ ἄρχειν Πατέρες εὐκλεεῖς, ταῖς πρεσβείαις ὑμῶν με εὐφράνατε.

Χαρίσματα, καὶ ἰάσεις ποικίλας, διανέμοντες ἀφθόνως τοῖς πίστει, εἰλικρινεῖ ἐν ὑμῖν προσιοῦσι, καὶ

ἐξαιτοῦσιν ἐκ θλίψεων λύτρωσιν, Πατέρες καὶ νόσους τὰς ἡμῶν, ἐπισκέψασθε νῦν καὶ ἰάσασθε.

*Θεοτοκίον.*

Σὲ δέδωκεν, ἐν τῷ κόσμῳ Κύριος, προστασίαν ὁ τὸν κόσμον ποιήσας, Μῆτερ ἁγνὴ ὡς ἐν κόσμῳ ὀφθῆναι, δι’ εὐδοκίαν ὡς ἄνθρωπος ἔγνωκε, διὸ πολεμούμενόν με νῦν, ὑπ’ ἐχθρῶν ἀοράτων διάσωσον.

Στηρίξατε, ὑμῶν τὴν ποίμνην Πατέρες ὦ θεοφόροι, καὶ τῶν χαλεπῶν κινδύνων λυτρώσασθε, οἳ συνέχουσι νῦν ἡμᾶς πολυτρόπως.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ὁσιακόν.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Πταίσμασι βαρούμενοι, πάντες ἡμεῖς θεοφόροι, καὶ κατακαμπτομενοι, ἀχθηδόσι πάντοτε ταῖς τῶν θλίψεων, πρὸς ὑμᾶς στένομεν, τοὺς ἡμῶν Πατέρας, ἐκ βαθέων ἀνακράζοντες· σπεύσατε Ἅγιοι, πόνων τῶν τοῦ

βίου κουφίσατε, οἱ μώλωπες προσώζεσαν, τραύματα ἡμῶν κατεσάπησαν, ἰσχὺς δὲ οὐκ ἔστιν, ἐν μέλεσιν οὐ φῶς τοῖς ὀφθαλμοῖς, εἰ μὴ πρὸ τέλους ἀρήξητε, εἰς τέλος ὀλλύμεθα.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἐρείσαντες τοὺς πόδας εὐσεβείας ἐν πέτρᾳ οὐ κατεσείσθητε, βασάνων τρικυμίαις, διὸ κλονούμενόν με, ἐπηρείαις τοῦ δαίμονος, ἐπὶ τὴν πέτραν Χριστοῦ, στήσατε ὁδηγοί μου.

Χριστοῦ ὡς στρατιῶται ἐσταυρώσατε σάρκα σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις, ἐμοὶ δὲ ζῶσα πάντως, ἁμαρτία ταράττει με, νεκρώσατέ μου σοφοί, τὸ φρόνημα τῆς σαρκός μου.

Τῆς πλάνης καθαιρέται εὐσεβείας προστάται καὶ ὁδηγοὶ τῶν πιστῶν, καὶ φύλακες τῆς ποίμνης, ταύτης ὦ θεηγόροι, χρηματίζοντες πάντοτε, ὑπὸ τὴν σκέπην ὑμῶν, πάντας φρουρήσατε.

*Θεοτοκίον.*

Παθῶν πολιορκούντων, τὴν ἀθλίαν ψυχήν μου καὶ σπαρασσόντων δεινῶς, Παρθένε λύτρωσαί με, καὶ γὰρ ὑπὲρ τὰς τρίχας, κεφαλῆς μου ἐπλήθυναν, οἱ θλίβοντες ἀφειδῶς, τὴν ταπεινὴν ζωήν μου.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Παρεστηκότες, τῷ Βασιλεῖ τῶν αἰώνων, θεοφόροι Πατέρες εἰρήνην, αἰτήσασθε κόσμῳ, ἡμῖν δὲ σωτηρίαν.

Τῶν Ἀποστόλων, ὁμότροποι γεγονότες, τῶν Χριστοῦ προβάτων τὴν φροντίδα, ἤρατε καὶ ταῦτα, προσάξατε τῷ Πλάστῃ.

Ὡς καθαιρέται, τῆς πλάνης ἀναφανέντες, καὶ παθῶν σαρκικῶν θεοφόροι, νικητήν με πάσης, δείξατε ἐπηρείας.

*Θεοτοκίον.*

Μίαν θεότητα, ἐν τρισὶ χαρακτῆρσι, τὸν Πατέρα καὶ Λόγον καὶ Πνεῦμα, πάντες προσκυνοῦμεν, ἕνα Θεὸν τὰ τρία.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἐξέλιπεν ἐν πλείσταις, λύπαις ἡ ζωή μου, καὶ ὀχετοῖς τῶν δακρύων τὰ ἔτη μου, Σὺ ἡ χαρὰ τῶν Σῶν δούλων, Σωτήρ με εὔφρανον.

Ἐσπάσαντο ῥομφαίαν, ἐνέτειναν τόξον, ἁμαρτωλοὶ καθ' ἡμῶν τῶν Σῶν δούλων Χριστέ, σὺ τὰς ἐνέδρας τὰς τούτων, Σωτὴρ ματαίωσον.

Πρεσβείαις Σῶν Ὁσίων, Ὁμολογητῶν Σου, θαῤῥῶν Χριστὲ ὡς ῥυσθήσομαι πάντων ἐχθρῶν, ἐν εὐχαρίστῳ καρδίᾳ, χαίρων δοξάζω Σε.

*Θεοτοκίον.*

Παρθένε Θεοτόκε, ἡ ἐλπὶς τοῦ κόσμου, ἡ τῶν ἐθνῶν τὴν ἐλπίδα κυήσασα, Σαῖς μεσιτείαις ἐλπίζων, οὐκ αἰσχυνθήσομαι.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ

μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τοὺς τρισσολαμπτῆρας τοὺς φεραυγεῖς, τοὺς τῆς μετανοίας διδασκάλους καὶ ὁδηγούς, τῆς στενῆς πορείας, τῆς εἰς τὴν Βασιλείαν, φερούσης ὑμνωδίαις ἀνευφημήσωμεν.

Νικήταν τὸν ἔνδοξον νικητήν, καὶ τὸν Νικηφόρον τὸν τῆς νίκης στέφει σεπτῷ, ἐγκεκοσμημένον, σὺν τῷ Ἀθανασίῳ, τῷ θαυμαστῷ ἐν ἔργοις ὕμνοις τιμήσωμεν.

Χαίρετε Ποιμένες τῶν τοῦ Χριστοῦ, λογικῶν θρεμμάτων, προηγούμενοι εὐσεβῶς, οἱ ποίμνην ἐν πόᾳ, ἐκτρέφοντες Κυρίου, καὶ λύκους ἀσεβείας μακρὰν ἐλαύνοντες.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον. Τὰ συνήθη τροπάρια. Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾿ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

